:: sic forsitan. nam eadem recens manus graecis fere deletis non satis bona et distincta obductione succurrit.

πάντοτε ἐναντία σοι ἐροῦσιν. οἱ δὲ ταχὺ ἐμπιστεύον-
τες λόγοις ὥσπερ τὰ κενὰ τῶν ἀγγείων τοῖς ὠτασί-
οις ἀβάστακτα εὑρίσκονται. ὅμως ἄκουσον:~ ἄνθρω-
πος πένης ἀκρίδας θηρεύων ἤγρευσε καὶ τὴν εὔλαλον
τέττιγα τὴν τερετίστριαν, καὶ ἤθελεν ἀποκτεῖναι. ἡ δὲ
πρὸς αὐτὸν εἶπε, μὴ μάτην ἀποκτείνῃς. οὐ στάχυν ἀ-
δικῶ, οὐκ ἀκρέμονα βλάπτω, συνθέσει δὲ τῶν πτερῶν
καὶ ποδῶν ἁρμονία χρηστὰ φθέγγομαι, ὁδοιπόρους
τέρπουσα. φωνῆς δὲ πλέον παρ' ἐμοὶ οὐδὲν εὑρήσεις. ὁ
δὲ ταῦτα ἀκούσας ἀφῆκεν αὐτήν. κἀγὼ βασιλεῦ δέ-
ομαι σοῦ τῶν ποδῶν, μὴ εἰκῆ ἀποκτείνῃς. οὔτε γὰρ δυνα-
τός εἰμι τινὰ ἀδικῆσαι, ἐν ἀτελείᾳ δὲ σώματος χρη-
στὰ φθεγγόμενος βίους ἀνθρώπων ὠφελῶν. ὁ δὲ βα-
σιλεὺς θαυμάσας ἅμα δὲ καὶ συμπαθήσας, αὐτῷ